γεῖν τὰς τοῦ ἐχθροῦ κακοτέχνους ἐπινοίας; Πῶς δυνηθῶ καταλαβεῖν ἐκ τῶν πολλῶν αὐτοῦ καὶ ἀνεικάστων ἀρετῶν, κἂν ἐκ τῶν μυρίων ὀλίγας κτήσασθαι; Ἀλλ' ὅμως οὐκ εἰμὶ ἄξιος τῶν τοσούτων αὐτοῦ καὶ μεγάλων κατορθωμάτων ἐπακόλουθος γενέσθαι. Ἀλλ' ἱκετεύω καὶ δυσωπῶ τὸν φιλοικτίρμονα θεὸν ἡμῶν, καὶ αὐτοῦ τοῦ πατρὸς τὸ πρᾶον, ὅπως συγχωρήσῃ τὰ παρ' ἐμοῦ πραττόμενα καθ' ἑκάστην ἡμέραν δεινά.«

29 (31) |600B Θεωρῶν δὲ αὐτοῦ ὁ ἡγούμενος τὸ ἐπίμονον τῆς καρτερίας καὶ τὸ ἡδὺ καὶ καλόμελον τῆς ψαλμῳδίας, πάλιν δὲ καὶ τὸ τῆς ἄκρας ἐγκρατείας – τὴν γὰρ ἑβδομάδα ὁλόκληρον ἀπετέλει μὴ γευόμενος ὅλως ἕως τοῦ σαββάτου, καὶ τοῦτο λαχάνοις μόνον ἐπαρκούμενος καὶ ἅλατι, εἶτα πάλιν ἐν τῇ μελέτῃ τῶν θείων γραφῶν σχολάζων ἀεὶ – καὶ τὸ ἄγρυπνον αὐτοῦ, ἀνήγγειλεν τὰ κατ' αὐτὸν ὁ ἡγούμενος τῷ ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως λέγων αὐτῷ· »Πάτερ τίμιε, κατήντησεν ἐν τῷ μοναστηρίῳ μου ξένος τίς διάκονος πάνυ ὡραῖος τῇ θέᾳ, πάλιν δὲ καὶ ἄσκησιν ἔχων καὶ βίον ἐνάρετον, σοφὸς δὲ καὶ ἐν ταῖς ἀναγνώσεσιν προσέχων καὶ ἑρμηνεύων τὰς θείας γραφάς. Ὡς ἐμοὶ δοκεῖ, μὴ εὑρίσκεσθαι ἕτερον |600C τινὰ σήμερον ἐν τῇ πόλει ταύτῃ οὐκ οἶδα, εἰ μὴ σοῦ αὐτοῦ ἡ θεία καὶ ἱερὰ σοφία.« Ταῦτα δὲ ἀκούσας ὁ ἀρχιεπίσκοπος ἐχάρη πάνυ καὶ λέγει τῷ ἡγουμένῳ· »Ἔχομεν ἐνταῦθα ἄνδρας σοφούς· ἃς ἀποστείλωμεν αὐτοὺς πρὸς σέ, ὡς ἐκείνου μὴ γνόντος, ὅτι ἐξ ἡμῶν ἀπεστάλησαν καὶ

12 post ἐχθροῦ add. καὶ I ἐπινοίας] μηχανάς BH ἢ πῶς μ DS ἰσχύσω D πολλῶν om. D | 13 αὐτοῦ] τοῦ ἁγίου τούτου μ DS καὶ] τῶν S, om. O D ἀπείρων D κἂν] καὶ B O ἢ κἂν μ ἐκ – κτήσασθαι] ὀλίγας D τὰς ἐλαχίστας S ὀλίγα NO ὀλίγας – 14 τοσούτων om. B | 14 ὅμως om. DS εἰ καὶ οὐκ μ εἰ καὶ ἀνάξιος εἰμί DS τοσαύτων H, om. S καὶ om. S ἐπακόλουθος – 15 [1]καὶ om. D | 15 ἀλλ', καὶ δυσωπῶ om. S [2]καὶ – 16 πρᾶον] διὰ τοῦ πράου καὶ ἀγαθοῦ πατρὸς καὶ ποιμένος S, om. D | 16 ὅπως – 17 δεινά] συγχωρῆσαι τὰ καθ' ἑκάστην ἡμέραν καὶ ὥραν παρ' ἐμοῦ πραττόμενα δεινά D ἐλέους τυχεῖν S ἡμέραν om. G | 17 δεινά om. NO H.
29 deest in MT; F inc. 2 ¦δίας πάλιν. – 1 αὐτοῦ om. GH S ἐπίπονον H Q καρτερίας αὐτοῦ H S ἡδὺ – 2 τὸ om. O | 2 ψαλμῳδίας αὐτοῦ H πάλιν – τὸ] καὶ τὴν ὑπερβολὴν D δὲ om. F καὶ om. NG μ S τὸ ἄκρον τῆς ἐγκρατείας S ἄκρας om. P ἐγκρατείας αὐτοῦ H τὴν – 3 ὁλόκληρον] πᾶσαν γὰρ τὴν ἑβδομάδα S ἑβδομάδαν I | 3 ὁλοκλήρως B ὅλην μ, om. S ἀποτελεῖ N I ἄσιτος διετέλει S ὅλως – τοῦτο om. S | 4 μόνοις N I S τρεφόμενος N μετὰ ἅλατος ἀρκούμενος S καὶ ἅλατι] ἅλατι ἠρτυμένοις D εἶτα] καὶ B εἶτα – 5 ἀεὶ] τήν τε ταῖς θείαις γραφαῖς σχολὴν D τό τε τῆς μελέτης τῶν θείων γραφῶν ἐπίπονον καὶ τὸ διηνηκὲς S σχολάζοντα μ (< A) | 5 καὶ – αὐτοῦ] ἄγρυπνον S, om. I post αὐτοῦ add. πάντοτε GH, τὸ διηνηκές μ (εἰς τὸ A) ἀνήγαγεν S δὲ τὰ H κατὰ τὸν παῖδα F κατ' αὐτοῦ G ὁ ἡγούμενος om. μ DS ante τῷ add. τῷ μακαρίῳ Μηνᾷ D | 6 λέγων αὐτῷ] ὅτι D αὐτῷ om. μ S πατὴρ G τίμιε om. D τίμιε καὶ ἅγιε B | 7 μου om. B ξένος] λέγω N τίς post 6 κατήντησεν H μου om., διάκων B τῇ τάξει διάκονος I πάλιν δὲ] πολλὴν δὲ E A, om. I DS πάλιν – 8 ἐνάρετον om. P [1]καὶ om. O καὶ ἄσκησιν] ἄσκησίν τε D ἔχων] κεκτημένος post 8 ἐνάρετον S | 8 σοφὸς – 9 δοκεῖ] καὶ σοφίαν τοιαύτην κεκτημένος ὡς D δὲ om. S [1]καὶ om. μ S ταῖς – [2]καὶ] γνώσει καὶ λόγῳ S διερμηνεύων N | 9 post γραφάς add. ἐμμελῶς S ἐμοὶ δοκεῖ om. D δοκεῖ μοι H ἐμοί γε S μὴ εὑρίσκεσθαι post τινὰ Q τινὰ ἕτερον B NF ἕτερον om. O D ἕτερον τινὰ] ὅμοιον αὐτοῦ S τοιοῦτον add. post σήμερον A, post ταύτῃ D σήμερον om. DS πολιτείᾳ O ταύτῃ om. S | 10 οὐκ οἶδα om. B NOF οὐκ – ταῦτα] πλὴν τῆς σῆς ἁγιωσύνης δέσποτα D, om. I σοῦ αὐτοῦ] σὺ αὐτὸς ὦ B αὐτὴ ἡ ἱερὰ καὶ θεία S σοφία] κεφαλή B δὲ om. B D | 11 ἃς H, om. cett. | 12 ἀποστέλλομεν B ἀποστελῶ I ἀποστείλωμεν αὐτοὺς] οὓς ἀποστείλωμεν G πρὸς σέ] ἐνταῦθα F ὡς om. S ὡς – 13 αὐτὸν] ὡς ἐπ' ἄλλῳ τινὶ πράγματι D καὶ om. G



διά προφάσεως τινός. Ἄς ἴδωσιν αὐτὸν καὶ διαλεχθῶσιν μετὰ τοῦ ἀνδρός, εἶθ' οὕτως καὶ ἡμεῖς αὐτὸν θεωροῦμεν.« Λέγει ὁ ἡγούμενος τῷ ἀρ|601Aχιεπισκόπῳ· »Τῇ νυκτί, δέσποτα, ἀπόλυσον πρὸς ἡμᾶς, ὅταν τὰς μεσονυκτινὰς ἐπιτελεῖ εὐχάς. Οὐ γὰρ δύναται τινὸς παρρησιασθῆναι, τὸ ταπεινὸν καὶ ἥσυχον κεκτημένος φρόνημα.«

30 (32) Τῇ δὲ νυκτὶ ἐκείνῃ προσκαλεσάμενος ὁ ἀρχιεπίσκοπος Κωνσταντῖνον χαρτοφύλακα καὶ διάκονον καὶ Μάξιμον φιλόσοφον, ἀμφοτέρους διακόνους, λέγει αὐτοῖς· »Ἀπέλθατε, τέκνα μου, ἐν τῷ μοναστηρίῳ τοῦ ἁγίου Σεργίου, καὶ ἴδετε ἄνθρωπον τινὰ ἐκεῖ ξένον, καὶ προσαγορεύσαντες αὐτὸν τῇ πρεπούσῃ τιμῇ ἀσπάσασθε αὐτόν. Καὶ ὅταν ἔλθῃ ὁ καιρὸς τῆς ἀναγνώσεως, πρῶτον μὲν ἐξ ὑμῶν ὁ εἷς λαβὼν βιβλίον ἀναγνώσει. Εἶτα εἰς δευτέραν ἀνάγνωσιν ἐπίδοτε τῷ ἀνθρώπῳ τὰ Ἀπόρρητα τοῦ Θεολόγου τοῦ ἁγίου πατρὸς ἡμῶν Γρηγορίου, καὶ |601B πάντως γνῶσαι ἔχετε τὴν τοῦ ἀνδρὸς σοφίαν, μὴ σκανδαλίζοντες αὐτὸν τὸ σύνολον.« Οἱ δὲ ἀποκριθέντες εἶπον· »Γένοιτο ὃ ἐπέταξας, δέσποτα.« Ἀπελθόντες δὲ οἱ δύο διάκονοι καὶ κρούσαντες εἰσῆλθον ἐν τῷ μοναστηρίῳ· καὶ εὗρον τὸν Γρηγόριον μετὰ ἑτέρων τριῶν μοναχῶν ψάλλοντας τὰ μεσονυκτινά, τὸ *Κύριε, ἐδοκίμασάς με καὶ ἔγνως με.* Εἶτα εὐξάμενοι οἱ ἄνδρες τῇ πρεπούσῃ τιμῇ, ἠσπάσαντο τοὺς μοναχοὺς καὶ τὸν Γρηγόριον. Καὶ καθεσθέντων αὐτῶν εἰσῆλθεν καὶ ὁ ἡγούμενος, καὶ ἐκαθέσθη καὶ αὐτὸς σὺν αὐτοῖς,

30 11 Ps. 138 1

13 ἃς O H ἵν' N ἵνα F καὶ G, om. cett. διαλεχθήτωσαν D μετὰ τοῦ om. O μετὰ τοῦ ἀνδρός] μετ' αὐτοῦ S αὐτῷ D εἶθ' B, καὶ cett. | 14 οὕτως] μετὰ ταῦτα D καὶ om. μ S ἡμεῖς om. P I θεωροῦμεν αὐτόν H λέγει δὲ B ἔφη D τῷ ἀρχιεπισκόπῳ om. D | 15 ἁγιώτατε δέσποτα post ἀπόλυσον D ἀπόστειλον QV IA DS πρὸς ἡμᾶς] αὐτοὺς S, om. D ὅταν – εὐχάς] κατὰ τὸν τοῦ ὄρθρου καιρόν D | 16 δύναται – παρρησιασθῆναι] παρρησιάζεται τινί D τινί G μ ἔν τινι S post ταπεινὸν add. γὰρ BH G καὶ ἥσυχον om. D ἡσύχιον B κέκτηται BH G.
30 deest in MT. – 1 τῇ δὲ] ἐν δὲ τῇ G καὶ τῇ H D δὲ νυκτὶ] νυκτὶ οὖν μ S ἐπιούσῃ νυκτὶ D ἐξαποστέλλει, διάκονον καὶ χαρτοφύλακα D | 2 Μαξιμῖνον, φιλόσοφον ante 1 χαρτοφύλακα H Μάξιμον τινὰ D ἀμφοτέρους – 9 δέσποτα om. D καὶ λέγει G P | 3 ἀπέλθετε B OF V τεκνία N H μου om. A S τῶν ἁγίων A Σεργίου καὶ Βάκχου NOF A τινὰ ἄνθρωπον S | 4 ἐκεῖ om. μ S ξένον ἐκεῖ F καὶ om., προσαγορεύσατε NO αὐτῷ H, om. μ S τῇ – [2]αὐτόν om. NO αὐτοῦ I | 5 τοῦ ἀναγνῶναι F τὸ πρῶτον NO ὁ εἷς ἐξ ὑμῶν H I P ὁ εἷς λαβὼν ἐξ ὑμῶν F βιβλίον om. F τὸ βιβλίον ἀναγνῶτο S | 6 εἶτα εἰς δευτέραν] εἰς δευτέραν δὲ μ S ἐπιδότε G τῷ ἀνθρώπῳ] αὐτῷ B ἄπορα NO | 7 Γρηγορίου post ἁγίου, τοῦ πατρὸς G ἁγίου] ἐν ἁγίοις NO P, om. S πατρὸς ἡμῶν om. I ἡμῶν om. S πάντες S γνῶναι B QV S | 8 τὸ σύνολον] τὸ ὅλως NOFG τὸ ἀληθῶς H ὅλως μ S ἀποκριθέντες om. H ἀποκριθέντες αὐτῷ I | 9 εἶπαν Q ὃ] ὡς F μ S δὲ] οὖν, οἱ – 10 εἰσῆλθον om. D δύο om. PQ | 10 ἦλθον H καὶ om. D καὶ εὗρον] εὑρόντες NOF τὸν – μοναχῶν] αὐτοὺς D μεθ' μ S τριῶν] τινῶν μ τινῶν τριῶν B, om. S | 11 ψάλλοντες FG H ψάλλοντα QV S τοὺς ὀρθρινοὺς ὕμνους D μεσανυκτινά A S τὸ – με om. D ante κύριε ἐδωκίμασας add. κύριε ἐλέησον καὶ τὸ I εἶτα] καὶ B G | 12 οἱ ἄνδρες om. μ DS καὶ τῇ NOF H τῇ πρεπούσῃ τιμῇ om. I ἀσπασάμενοι F καὶ ἀσπασάμενοι I τοὺς – Γρηγόριον] ἀλλήλους Γρηγόριον D, postea add. καὶ τὸν ἡγούμενον I D [2]καὶ] μετὰ οὖν τὴν τῆς εὐχῆς συμπλήρωσιν D [2]καὶ – 13 αὐτοῖς om. I | 13 εἰσῆλθεν – 14 [1]καὶ om. D [1]καὶ om. NO Q καὶ ἐκαθέσθη om. N καὶ αὐτὸς om. Q μετ' αὐτῶν μ (< I) S

καὶ εἶπεν ὁ ἡγούμενος· »Λαβέτω τὴν βίβλον εἷς ἐκ τῶν πατριαρχικῶν, καὶ ἀναγνῷ εἰς ὠφέλειαν ἡμῶν.« Λαβὼν δὲ ὁ χαρτοφύλαξ τὴν |[604A] δέλτον, ἤρξατο τὸν περὶ τοῦ Ἰὼβ λόγον τοῦ ἐν ἁγίοις Ἰωάννου τοῦ Χρυσοστόμου. Ἐκαθέζετο δὲ ὁ μακάριος Γρηγόριος ἐν πάσῃ ἡσυχίᾳ καὶ ταπεινοφροσύνῃ μετὰ παντὸς φόβου προσέχων τοῖς λεγομένοις, ἐκχέων ἀνένδοτα δάκρυα ἐπὶ τὸν κόλπον αὐτοῦ.

31 Πληρώσας δὲ ὁ χαρτοφύλαξ τὸν λόγον, ἀνέστησαν καὶ ἤρξαντο πάλιν ψάλλειν· ἔστη δὲ ὁ Γρηγόριος ἐν ἑνὶ τόπῳ ἀμετακίνητος κάτω νεύων, ἄνω δὲ τοὺς νοεροὺς ὀφθαλμοὺς τῆς καρδίας ἔχων. Ἦσαν δὲ οἱ ἄνδρες οἱ πατριαρχικοὶ παρατηρούμενοι καὶ διασκεπτόμενοι αὐτόν, ἡδέως ἀκούοντες τὸ ἡδὺ τῆς ψαλμῳδίας αὐτοῦ καὶ τὸ ἥσυχον καὶ ἀμετακίνητον αὐτοῦ. (33) Πληρωθείσης οὖν τῆς ἐξ ἔθους ψαλμῳδίας, πάλιν ἐκαθέσθησαν ὅ τε ἡγούμενος καὶ οἱ πατριαρχικοὶ διάκονοι, λοιπὸν δὲ καὶ οἱ μοναχοί· ἔμεινεν δὲ |[604B] ἑστὼς ὁ Γρηγόριος ἐν τῷ τόπῳ, ᾧ ἦν ἑαυτὸν ὁρίσας. Καὶ λέγει αὐτῷ ὁ ἡγούμενος· »Τέκνον Γρηγόριε, εἴσελθε, ἀνάγνωθι καὶ ὠφέλησον ἡμᾶς.« Ὁ δὲ εὐθέως ἅμα τῷ λόγῳ εἶπεν· »Ὡς κελεύεις, πάτερ.« Ἔχοντες δὲ προχείρως τὴν βίβλον τοῦ Θεολόγου οἱ πατριαρχικοί, ἐπέδωκαν αὐτῷ. Εἶπεν δὲ αὐτῷ ὁ ἡγούμενος· »Τῶν Ἀπορρήτων τὸν λόγον ἀνάγνωθι, τέκνον.« Λαβὼν δὲ εὐχὴν ἤρξατο τοῦ ἀναγνῶναι. Ἠπόρουν δὲ τῶν πολλῶν λόγων <λέγειν> τὰς ἐπιλύσεις· παρεκάλουν δὲ αὐτὸν διὰ τοῦ ἡγουμένου οἱ διάκονοι δοῦναι αὐτοῖς τὰς λύσεις τῶν

14 λέγει A εἶπεν — 15 ἡμῶν] προετρέψατο ὁ ἡγούμενος τοὺς ἐκ τοῦ πατριάρχου τοῦ ἀναγνῶναι D λάβε τὸ βιβλίον I ἀναγνῶτο F QV S | 15 λαβὼν — ἤρξατο] καὶ ἀναστὰς ὁ χαρτοφύλαξ ἀνέγνω D ὁ χαρτοφύλαξ τὴν δέλτον λ βίβλον B NO ἤρξατο ἀναγινώσκειν S | 16 ἁγίου μ S ἐν — [2]τοῦ om. B πατρὸς ἡμῶν Ἰωάννου NF D μακάριος om. G D | 17 καὶ μετὰ E παντὸς om. D φόβου καὶ τρόμου H | 18 καὶ ἐκχέων μ (< I) S ἐκχέων — αὐτοῦ] καὶ ταῖς δάκρυσι βρέχων τὸ στῆθος αὐτοῦ D, om. I ἀνένδοτα] τὰ H ἑαυτοῦ B.

**31** deest in M; T inc. 19 ἁμαρτωλὸς καὶ ἰδιώτης. — 1 πληρώσας δὲ] καὶ πληρώσας B πληρώσας οὖν H πληρώσαντος δὲ τὸν λόγον τοῦ χαρτοφύλακος D καὶ ἤρξαντο om. λ D πάλιν post ψάλλειν B, om. μ DS τοῦ ψάλλειν D ψάλλοντες N | 2 δὲ] οὖν μ S ἄνω — 3 ἔχων om. I δὲ om. μ νοεροὺς om. μ DS | 3 ἔχων ante ὀφθαλμοὺς H, post ὀφθαλμοὺς B FG τῆς καρδίας ἀνατείνων ὀφθαλμούς D ἦσαν — 4 αὐτόν] οἱ μέντοι πατριαρχικοὶ ἄνδρες παρετηροῦντο αὐτόν D οἱ ἄνδρες om. NOF μ S | 4 τε καὶ μ καὶ διασκεπτόμενοι αὐτὸν om. E D αὐτὸν ante [1]καὶ P, om. S καὶ ἡδέως S ἡδέως — ἡδὺ] καὶ ἡδέως ἤκουον τοῦ ἤχου D ἀκούοντες αὐτοῦ O τὸ — 5 αὐτοῦ om. I [2]καὶ om. B [2]καὶ — 5 αὐτοῦ om. DS | 5 τε καὶ B αὐτοῦ om. P οὖν πάλιν I ἐξ ἔθους om. D | 6 πάλιν post 5 οὖν D ἐκαθέσθησαν — 7 μοναχοί] ἐκαθέσθησαν ἅπαντες I καὶ καθεσθέντων πάντων D ὅ τε ὁ QV διάκονοι om. A δὲ om. F V [2]καὶ om. S | 7 λοιποὶ μοναχοί λ H ἀδελφοί N ἔμεινεν — ὁρίσας] ὁ δὲ Γρηγόριος ἵστατο I ὁ Γρηγόριος ἑστὼς B O τῷ] ἑνὶ D, om. Q ᾧ — ὁρίσας om. D ᾧ] οὗ N οὖν O ἑαυτῷ B O αὐτῷ N H | 8 αὐτὸν H EQV καὶ ἀνάγνωθι καὶ NOF H (ἀνάγνωσον N) καὶ ἀναγνοὺς D | 9 εὐθέως om., ἔφη D πρὸ χειρὸς H πρὸ χειρῶν G | 10 οἱ πατριαρχικοί τοῦ Θεολόγου P ἔδωκαν F αὐτόν Q εἶπεν — 11 ἡγούμενος] καὶ ὁ ἡγούμενος αὐτῷ φησίν μ (καὶ φησὶν ὁ ἡγούμενος A φησὶν αὐτῷ S) εἶπεν — 11 τέκνον om. D αὐτῷ om. BH G | 11 τὸν ἀπόρρητον GH τὸν om. NOG λαβὼν δὲ] καὶ λαβὼν D | 12 τοῦ om. B DS ἀναγινώσκειν B A DS ἠπόρων H ἠπόρουν — ἐπιλύσεις] διαποροῦντες οὖν ἐπὶ τῇ τῶν νοημάτων πυκνότητι D λόγων] λέγειν μ λόγων λέγων H λέγειν supplevi post ἐπιλύσεις add. τῶν ἀπορρήτων μ, postea οἱ πατριαρχικοί A | 13 παρεκάλουν δὲ] καὶ παρεκάλουν B G παρεκάλεσαν S δὲ] οὖν μ S, om. D οἱ διάκονοι post αὐτὸν I, post 12 ἐπιλύσεις S, om. A οἱ διάκονοι] τὸν μακάριον D δοῦναι — 14 στοιχείων] ἑρμηνεύειν τὰ ἀναγινωσκόμενα D τῶν ἀνεγνωσμένων τὴν λύσιν ποιήσασθαι S τούτοις μ (< P) ἐπιλύσεις μ



ἀπορρήτων στοιχείων. Ἕως οὗ δὲ τὴν βίβλον ἐπεῖχεν ὁ μακάριος ἐν ταῖς χερσὶν αὐτοῦ, οὐδὲν αὐτοῖς ἀπεκρίνατο, μόνον τοῦτο λέγων· »Συγχώρησόν μοι, πάτερ.« Εἶτα πληρώσας τὴν ἀνάγνωσιν, καὶ γεναμέ|[604C]νης ἀπολύσεως ἐκαθέσθησαν ἀμφότεροι. Καὶ λέγει ὁ ἡγούμενος· »Τέκνον Γρηγόριε, τίνος ἕνεκεν οὐκ ὠφέλησας ἡμᾶς τὰς ἐπιλύσεις τῶν ἀπορρήτων στοιχείων;« Λέγει αὐτῷ ὁ Γρηγόριος· »Συγχώρησόν μοι, πάτερ, ἄνθρωπος γάρ εἰμι ἁμαρτωλὸς καὶ ἰδιώτης.« Ἀναγκασθεὶς δὲ ὑπὸ τοῦ ἡγουμένου, ἤρξατο, ἄνευ μέντοι τῆς βίβλου, ἐξ ὑπαρχῆς διασαφηνίζων καὶ ἐπιλύων πρὸς ἕκαστον στῖχον τῶν ἀπορρήτων τὴν δύναμιν. Λοιπὸν δὲ καὶ ἕτερα πολλὰ διαλεχθέντες οἱ ἄνδρες τῷ μακαρίῳ Γρηγορίῳ, πάντα αὐτοῖς ἀπεκρίνατο μετὰ πάσης ἡσυχίας καὶ πραότητος.

32 Πληρώσαντες δὲ οἱ ἄνδρες τοῦ ἐπερωτᾶν αὐτὸν ὅσα ἐβούλοντο καὶ συνταξάμενοι αὐτῷ τῇ πρεπούσῃ τιμῇ, ἀπῆλθον πρὸς τὸν ἀρχιεπίσκοπον χαίροντες ἅμα καὶ *δοξάζοντες τὸν θεὸν ἐπὶ πᾶσιν οἷς ἤκουσαν καὶ εἶδον* εἰς |[604D] τὸν ἄνθρωπον. Καὶ εἰσελθόντες διηγήσαντο τῷ ἀρχιεπισκόπῳ πάντα ὅσα ἤκουσαν παρὰ τοῦ Γρηγορίου λέγοντες ὅτι· »Πίστευσον ἡμῖν, δέσποτα, ὅτι, ὡς ἡμῖν δοκεῖ, ἐν τῇ πόλει ταύτῃ μὴ εἶναι ὅμοιον τοῦ ἀνθρώπου τούτου οὐκ οἶδα<μεν, εἰ μὴ> ἡ ὑμετέρα θεοτήρητος καὶ ἀξιέπαινος μακαριότης.« (34) Ταῦτα ἀκούσας ὁ ἀρχιεπίσκοπος, ἐπὶ τὴν αὔριον

32 2-3 Lc. 2 20

14 ἀπορρήτων om. μ στίχων F A ἕως οὗ δὲ] ὁ δὲ μακάριος ἕως S ὁ δὲ ἕως μὲν D οὗ om. G δὲ om. PQV τὸ βιβλίον N κατεῖχεν DS, postea add. καὶ ἀνεγίνωσκεν S ὁ μακάριος om. DS ἐν — αὐτοῦ om. S | 15 αὐτοῖς om. QV D μόνον τοῦτο λέγων] πλὴν τοῦτο λέγων ὅτι μ εἰ μὴ μόνον τὸ DS μοι πάτερ om. DS εἶτα πληρώσας] πεπληρωκὼς δὲ D εἶτα — 16 ἀνάγνωσιν om. S εἶτα — 16 γεναμένης] πληρωθείσης οὖν τῆς ἀναγνώσεως καὶ τῆς I εἶτα — 19 πάτερ om. P | 16 καὶ om., τελεσθείσης δὲ τῆς δοξολογίας S γενομένης λ QV τῆς ἀπολύσεως post καὶ D ἀμφότεροι] ἅπαντες D | 17 καὶ om. λ εἶπεν D λέγει αὐτῷ λ λέγει πρὸς τὸν μακάριον D τέκνον post ἡμᾶς, Γρηγόριε om. S τὰς — 18 στοιχείων] διασαφήσας τὴν τῶν ἀπορουμένων λύσιν S ἐρωτοῦντά σε D ταῖς ἐπιλύσεσι F | 18 στίχων F λέγει — Γρηγόριος] ὁ δὲ ἀπεκρίνατο D ὁ om. QV | 19 γὰρ om. D καὶ om. F ἀναγκασθεὶς δὲ] καὶ ἀναγκασθεὶς D δὲ om. F ἡγουμένῳ O | 20 καὶ ἄνευ D μέντοι ἄνευ P μὲν F μέντοι om. I D τῆς om. μ βιβλίου I ἐξ — 23 πραότητος] πᾶν θεολογικὸν ῥητὸν ἐπὶ στόματος προφέρων ἄριστα ἐπιλύειν· πολλῆς δὲ κινηθείσης ἐκ τῶν πατριαρχικῶν διαλέξεως καὶ πολλῶν προτεθέντων ἀποριῶν πάντα μετὰ τῆς πρεπούσης τάξεως ἐπέλυεν ὁ μακάριος Γρηγόριος D ἀπαρχῆς NOFG H S διασαφίζων λ H διασαφηνίζειν QV διασαφεῖν S διαλύων F ἐπιλύειν QV S | 21 ἕνα ἕκαστον μ S στοιχεῖον B NG στοῖχον H τῶν — δύναμιν om. S ἀπορρήτων δυνάμεων G | 22 μακαρίῳ om. λ I | 23 τε καὶ EV A S.

**32** deest in M. — 1 δὲ] οὖν D οἱ ἄνδρες om. μ S αὐτῷ I, om. H ὅσα ἐβούλοντο om. D ἠβούλοντο μ (< I) S καὶ om. λ H D post συνταξάμενοι add. δὲ T, οὖν NO | 2 αὐτῷ om. G τῇ πρεπούσῃ τιμῇ] τε καὶ τῷ ἡγουμένῳ D, om. I χαίροντες — 3 ἄνθρωπον om. I ἅμα] ὁμοῦ μ S (om. Q) | 3 καὶ εἰσελθόντες — 4 Γρηγορίου om. μ S | 4 ἀπήγγειλαν D τῷ ἀρχιεπισκόπῳ πάντα om. G πάντα — Γρηγορίου om. D τῷ Γρηγορίῳ H | 5 λέγοντες om. D λέγοντες αὐτῷ μ S [1]ὅτι om. O I πίστευσον — [2]ὅτι om. O D [1]ἡμῖν om., δέσποτα post δοκεῖ μ S [2]ὅτι om. B F δοκεῖ ἡμῖν λ ἐν τῇ πόλει ταύτῃ post 6 τούτου D μὴ — 6 ὅμοιον] οὐκ ἔστιν ὅμοιος DS μὴ om. T | 6 τοῦ ἀνθρώπου τούτου] αὐτῷ S οὐκ οἴδαμεν om. μ DS οὐκ — 7 μακαριότης om. I οἴδαμεν TNO] οἶδα BH ἂν G εἰ μὴ supplevi ex S (cf. 29 10) ante ἡ add. μόνον λ (< G) πλὴν μ παρὲξ D ἡ — 7 μακαριότης] τῆς σῆς ἀξιεπαίνου μακαριότητος D | 7 ταῦτα — 8 χαρτοφύλακα] ἀποστείλας οὖν τῇ ἐπαύριον ὁ ἀρχιεπίσκοπος D